UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

**Isidorus <Pelusiota>**

**Parisiis, 1585**

Agathodæmoni. 435.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

Σολόμωνι. υλγ.

Εἰ μέμηνε καὶ λυττᾷ κατά σου ἡ ὄρεξις τῆς σαρκός σου, καὶ καύσων ῥαθυμίας αὐτὴν ἐξεθέρμανας, ὑπόμνησον αὐτὴν τοῦ μέλλοντος πυρός, καὶ σβεσθήσεται. ἡ γὰρ ἐνταῦθα τῆς πορνείας πυράκτωσις, πρὸς ἐκείνην βλέπει τὴν κάμινον.

*Salomoni.* 433.

Si carnis tuæ cupiditas aduersum te furit, ac rabido impetu fertur, eámque inertiæ ac desidiæ æstu inflammasti, ignis futuri memoriam ipsi refrica : & extinguetur. Siquidem libidinosum huius vitæ incendium ad fornacem illam tendit.

Κρίσπῳ. υλδ.

Εἰ καὶ ἑάλως τῷ τῆς φιλαργυρίας ἰῷ, ὅσπερ καὶ παντός ἐστι ῥίζα κακοῦ, καὶ πρὸς εἰδωλολατρείαν ἐκβακχεύει σε, πᾶσαν πρὸς ἑαυτὸν μεταστήσας τὴν αἴσθησιν, ἀλλ' ὑπόκριναι αὐτῷ τὴν θεοδίδακτον φωνήν, Κύριον τὸν θεόν μου προσκυνήσω, καὶ αὐτῷ μόνῳ λατρεύσω. καὶ ὁ μὲν οἰχήσεται, σὺ δὲ ἀνανήψεις πρὸς τὴν αὐτάρκειαν.

*Crispo.* 434.

Si auaritiæ veneno, quod quidem mali omnis radix est, téque sensibus omnibus ad se translatis, ad idolorum cultum incitat, captus es, vocem hanc diuinitus traditam ipsi responde, Dominum Deum meum adorabo, & ei soli seruiam. Atque illa quidem abibit: tu verò recepta meliori mente id assequeris, vt eo, quod satis sit, contentus sis.

Ἀγαθοδαίμονι. υλε.

Ἐσκλήρυνας ἐρευνῶν τὴν τῶν μοναχῶν καὶ ἱερέων ζωήν, τὸ ἀναμάρτητον ζητῶν ἐν αὐτῇ, ὅπερ μόνου ἐστὶ θεοῦ, καὶ τοῦτο ἐν ἀνθρώποις ὁ κατορθῶν οὐχ ὑπάρχει. εἰ δὲ πρέποντα τῇ φύσει ἐθέλεις ζητεῖν, τὸ μηδενὸς ἐφάπτεσθαι τῶν κατὰ γνώμην ἀδικημάτων, ὅπερ ἐστὶν ἀνθρώπου εὐαγοῦς, καὶ τὸ μὴ πολλοῖς περιπίπτειν τῶν ἀκουσίων, ὅπερ εἰκεῖον τῶν ἐγγίσαι θεῷ βουλομένων. καὶ τὸ ἧττον μὲν ἐκείνων, ῥᾷστον δὲ πολλοῖς, τὸ μὴ ἐπὶ μήκιστον ἐμμένειν τοῖς ἁμαρτήμασι.

*Agathodæmoni.* 435.

Obduruisti, Monachorum ac Sacerdotum vitam perscrutans, atque eiusmodi in ea statum, qui ab omni peccato alienus sit, quærens. Quodquidem solius Dei est: nec, qui id consequatur, mortalium quisquam est. Si autem ea, quæ naturæ congruant, inuestigare cupis, hæc sunt : Nullum voluntarium scelus attingere : quod quidem pij hominis est. Non in multa inuoluntaria peccata incidere: quod eorum proprium est, qui ad Deum appropinquare student. Et ( qoud illis inferius est, ac multis perfacile ) non quàm diutissimè in peccatis permanere.

Ζωσίμῳ. υλϛ.

Ἡ ὑπὲρ τῶν ἀνθρωπίνων ἁμαρτιῶν γενομένη παιώνειος τοῦ υἱοῦ τοῦ θεοῦ ἔνσαρκος ἐπιφάνεια. πάντας μὲν ἐφόβησε καὶ ἀνθρώπους καὶ δαίμονας, τοὺς μὲν φείδεσθαι τῆς φύσεως πείσασα, ὡς θεῷ ἑνωθείσης· τοὺς δὲ ἀπέχεσθαι τῆς κατ' αὐτῆς ἐπιβουλῆς ἀναγκάσασα, ὡς ἀναμαρτήτου λοιπὸν γενο-

*Zosimo.* 436.

Salutaris Filij Dei in carne apparitio, quæ delendorum humanorum peccatorum causa extitit, omnes, & homines, & dæmones perterrefecit: illis nimirum, vt naturæ, tanquam iam Deo copulatæ, parcerent, persuadens: hos autem, vt ab insidiis ipsi, tanquam iam à peccato alienæ redditæ, comparandis abstinerent, cogẽs.